κατὰ Κέκροπα Ἡρακλεῖ... Σῆμον δέ τινα νῦν νενικηκέναι ἅρματι, ὥς φησι Δίφιλος ὁ τὴν Θησηίδα ποιήσας ἔν τινι ἰαμβ(εί)ῳ οὕτω·

στρέψας δὲ πώλους ὡς ὁ Μαντινεὺς Σῆμος,
ὃς πρῶτος ἅρματ' ἤλασεν παρ' Ἀλφειῷι. (BEQ)

(a) p. 331. 20 ἔσται οὖν τὸ σαφὲς οὕτω κατ' αὐτὸν (Didymum), ἔξωθεν παραλαμβανομένου τοῦ ὀνόματος· "ἀν' ἵπποισι δὲ τέτρασιν ἥρως ὁ ἀπὸ Μαντινέας ἐνίκα, ἥ ἐστιν ἡ Μαντινέα σημεῖον καὶ ἱερὸν τοῦ Ποσειδῶνος"· Ἁλιρρόθιον γὰρ ἐπιθετικῶς τὸν Ποσειδῶνά φησι, καὶ παρατίθεται τὸ Ὁμηρικὸν (*Od.* 5. 292)· "πάσας δ' ὀρόθυνεν ἀέλλας | παντοίων ἀνέμων". παρατίθεται δὲ καὶ τὸν γράφοντα τὴν Θησηίδα μαρτυροῦντα τῷ ἥρωι τὴν τοῦ ἅρματος ἡνιοχευτικὴν ἀρετήν· "στρωφᾷς δὲ πώλους ὡς ὁ Μαντινεὺς Σῆμος." (BCDEQ)

## ECHEMBROTUS

Arcas

s. vi pars prior

Paus. 10. 7. 5-6, de Pythiis anni 582 καὶ αὐλῳδίαν ⟨τό⟩τε κατέλυσαν, καταγνόντες οὐκ εἶναι τὸ ἄκουσμα εὔφημον· ἡ γὰρ αὐλῳδία μέλη τε ἦν αὐλῶν τὰ σκυθρωπότατα καὶ ἐλεγεῖα {θρῆνοι} προσᾳδόμενα τοῖς αὐλοῖς. μαρτυρεῖ δέ μοι καὶ τοῦ Ἐχεμβρότου τὸ ἀνάθημα, τρίπους χαλκοῦς ἀνατεθεὶς τῷ Ἡρακλεῖ τῷ ἐν Θήβαις, ἐπίγραμμα δὲ ὁ τρίπους εἶχεν·

Ἐχέμβροτος Ἀρκὰς
θῆκε τῷ Ἡρακλεῖ
νικήσας τόδ' ἄγαλμα
Ἀμφικτιόνων ἐν ἄθλοις,
Ἕλλησι δ' ἀείδων
μέλεα καὶ ἐλέγους.